1082c ʽμή μ᾽ ἔπεσιν μὲν στέργε, νόον δ᾽ ἔχε καὶ φρένας ἄλλας,
d εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος,
e ἀλλὰ φίλει καθαρὸν θέμενος νόον, ἤ μ᾽ ἀποειπὼν
f ἔχθαιρ᾽ ἐμφανέως νεῖκος ἀειράμενος.᾽
1083 οὕτω χρὴ τόν γ᾽ ἐσθλὸν ἐπιστρέψαντα νόημα
ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλωι.

Δημῶναξ, σοὶ πολλὰ φέρειν βαρύ· οὐ γὰρ ἐπίστηι
τοὔνθ᾽ ἔρδειν, ὅ τι σοὶ μὴ καταθύμιον ἦι.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίηι
ναίετ᾽ ἐπ᾽ Εὐρώτα καλλιρόωι ποταμῶι,
εἴ ποτε βουλεύσαιμι φίλωι κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
οὔτε γὰρ ἐχθαίρειν οὔτε φιλεῖν δύναμαι,
γινώσκων χαλεπὸν μέν, ὅταν φίλος ἀνδρὶ γένηται,
ἐχθαίρειν, χαλεπὸν δ᾽ οὐκ ἐθέλοντα φιλεῖν.

Σκέπτεο δὴ νῦν ἄλλον· ἐμοί γε μὲν οὔ τις ἀνάγκη
τοὔνθ᾽ ἔρδειν· τῶν μοι πρόσθε χάριν τίθεσο.

Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι, ὥστε πετεινὸν
ἐκ λίμνης μεγάλης, ἄνδρα κακὸν προφυγών,
βρόχον ἀπορρήξας· σὺ δ᾽ ἐμῆς φιλότητος ἁμαρτὼν
ὕστερον ἡμετέρην γνώσηι ἐπιφροσύνην.